Μεςῶν γὰρ ὄντων αἵματος τῶν σωμάτων, »
ὀγκουμένων πλήθει τε τοῦδ' ὑπερμέτρῳ,
σφιγμῶν τ' ἐν ὄγκῳ καὶ τάχει κινουμένων,
ξὺν σφοδρότητι σκληρότητί τ' ἐντόνῳ,
κατοξέων ὄντων τε τῶν νοσημάτων
ξὺν φλεγμονῇ μάλιςα καιρίων τόπων,
οἷα φρενῖτις ἐςὶ κἀποπληξία,
ἥ τε ξυνάγχη καὶ κυνάγχη, πρὸς δ' ἔτι
ἡ φλεγμονὴ πλευρᾶς τε κἀυτῶν πνευμόνων,
σπλάγχνων τε λοιπῶν, εἶεν ἀκριβεῖς ὅμως
κἀξ αἱματώδους αἰτίας ὡρμημέναι,
προὐγνωσμέναι σάφ' ἐκ πεπονθότων τόπων,
εἰς πυρετοῦ τε συνεχοῦς σφοδροῦ τ' ἄγαν,
κἀξ αἰτίων μάλιςα τῶν δεδρακότων·
τοίων παρόντων φημὶ δὴ ξυμπτωμάτων
τίς οὐ προθύμως κἀδεῶς τάμῃ φλέβα;
ἐν τοῖς δε μὲν γὰρ καιρίως σχάσας φλέβα,
νόσων ἐν ἀρχῇ δηλαδὴ κοὐκ ὀψέ που,
ὤνησε δήπου τῇ κενώσει τῇδ' ἄγαν·
ἐρυθρὸν αἷμα καὶ γὰρ ἐξαντλῶν ὅσον
ὑπερπολάζον, φλεγμοναῖς τ' ἐπιῤῥέον,
ἢ καὶ πιέζον μαλθακὰ σπλάγχν', ἤθ' ὅσον
πιληθὲν ἀγγείοισιν ἐςενωμένοις
δεινὴν ςάσιν τε φλεγμονήν τ' εἴργασθ' ὅλως,
τὴν δρῶσαν αὐτὴν τῶνδ' ἀνεῖλεν αἰτίαν,
ὃς ἐς ἀκεσμὸς εὐςοχώτατος νόσων·

ἢ